ἑκατέρων προσήκουσιν. Τὸ μὲν γὰρ τὴν ἀνθρωπίνην ψυχήν, συνοῦσαν τῷ σώματι, ζωοποιεῖν αὐτὸ καὶ συνέχειν κατὰ τὸν λόγον ἐστὶ τῆς φύσεως· ἐκ δὲ τῶν ἰδίων ἔργων ἕκαστος ἀξιοῦται ἢ εἰς τὴν δόξαν τῆς θείας ἀναβῆναι θεωρίας, ἢ ἐξωσθῆναι τῆς ἐν αὐτῇ τάξεως διὰ τὴν ἁμαρτίαν. Πάντων ἄρα κοινῶς τὸ σῶμα διατεθήσεται πρὸς τὸ τῇ ψυχῇ οἰκεῖον κατὰ τὴν ἀφθαρσίαν καὶ τὴν ὑποταγήν, ἀλλὰ τῶν πρὸς τὴν θείαν ἀναχθεισῶν θεωρίαν ψυχῶν τὰ σώματα καὶ πλείονος τεύξεται· ὑποταγήσεται μὲν γὰρ αὐταῖς οὐ μόνον κατὰ τὸ εἶναι, ἀλλὰ καὶ ταῖς ἐνεργείαις καὶ ταῖς κινήσεσι καὶ τοῖς πάθεσιν καὶ ταῖς ποιότησιν. Καὶ πρῶτον μὲν κατὰ διάδοσιν τὴν τῆς λαμπρότητος τῆς ψυχῆς ἐνδυθήσεται δόξαν· ὅθεν ἐν τῇ πρὸς Κορινθίους πρώτῃ λέγεται· „Σπείρεται σῶμα ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ“. Τὸ γὰρ νῦν ἀντιφράττον ἔσται διαφανές. Ἀλλὰ καὶ κοῦφον ἔσται, ὥστε καθάπαξ τῷ πνεύματι πρὸς τὴν κίνησιν ὑπακούειν· καὶ τοῦτ' ἔστι τὸ ἀποστολικόν, τὸ „σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει“. Ἀλλὰ καὶ ἀπαθὲς ἔσται, ἄψαυστον παντὸς κακοῦ, καὶ κατὰ δύναμιν· οὐ γὰρ δυνήσεταί τι πάσχειν τῶν τοῖς σώμασι νῦν ἐπαχθῶς· καὶ κατ' ἐνέργειαν· οὐδεμία γὰρ ἔσται φθορὰ αὐτῷ οὐδὲ αἶσχος οὐδὲ στέρησις. Ἡ γὰρ ἀπάθεια ἐκείνη οὐκ ἐκβαλεῖ τὰ τῶν αἰσθήσεων πάθη· χρήζουσι γὰρ τῶν τοιούτων παθῶν
f. 189 τοῦ ἡδέος ἕνεκα, ὃ τῇ | τῆς ἀφθαρσίας οὐ μάχεται καταστάσει. Πρὸς τὸ δεῖξαι τοίνυν τὴν ἀπάθειαν φησίν ὁ Ἀπόστολος· „σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ“.

Ἔτι γε μὴν καθάπερ ἡ ψυχὴ πρὸς τὴν τῶν οὐρανίων πνευμάτων μετεωρισθήσεται δόξαν, οὕτω καὶ τὸ σῶμα μετεωρισθήσεται πρὸς τὰς ἰδιότητας τῶν οὐρανίων σωμάτων· διαφανὲς γὰρ ἔσται, ἀπαθές, ἄνευ δυσχερείας καὶ πόνου, κινεῖσθαι δυνάμενον. Καὶ διὰ τοῦτο φησίν· „Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν“· καὶ αὖθις· „Ἄλλη δόξα οὐρανίων σωμάτων, καὶ ἄλλη ἐπιγείων“. Ὥσπερ γὰρ νῦν, εἰ καὶ μὴ ἔστι ψυχὴ τὸ σῶμα, ἀλλ' ὑπόκειται τοῖς ζωώδεσι πάθεσιν, οὕτω καὶ τότε, εἰ καὶ μὴ πνεῦμα ἔσται, ὥς τινες κακῶς ὑπενόησαν, ἀλλὰ παντάπασιν ὑποτεταγμένον τῷ πνεύματι. Ὥσπερ δὲ ἡ δόξα, εἰς ἣν ἡ ἀνθρωπίνη ψυχὴ ἀνάγεται, ὑπερβαίνει τὴν φυσικὴν δύναμιν τῶν οὐρανίων πνευμάτων, ὡς ἐν τῷ τρίτῳ δέδεικται, οὕτως ἡ δόξα τῶν ἀνισταμένων σωμάτων ὑπερβαίνει τὴν φυσικὴν τελειότητα τῶν οὐρανίων σωμάτων, ὥστ' εἶναι μείζω τὴν δόξαν, τὴν ἀπάθειαν βεβαιοτέραν, τὴν κουφότητα ῥᾴω, καὶ τὴν τῆς φύσεως ἀξίαν τελειοτέραν.

## LXXXVII. — Περὶ τοῦ τόπου τῶν δεδοξασμένων σωμάτων.

Τοῖς δὲ τὴν ἰδιότητα τῶν οὐρανίων σωμάτων ἔχουσι σώμασι καὶ τελειοτέραν, ὡς εἴρηται, ὁ οὐράνιος ἁρμόζει τόπος, μᾶλλον δὲ ὁ ὑπὲρ πάσας

---

11 I Cor. 15, 43 14 Ibid. 15, 43 20 Ibid. 15, 42 25 Ibid. 15, 44 26 Ibid. 15, 40

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὰς σφαίρας, ἵν' οὕτως ὁμοῦ τῷ Χριστῷ ὦσιν, οὗ τῇ δυνάμει πρὸς τὴν δόξαν ταύτην μετήχθησαν· περὶ οὗ ἐν τῇ πρὸς Ἐφεσίους εἴρηται, ὅτι „Ἀναβέβηκεν ὑπὲρ τοὺς οὐρανούς, ἵνα πληρώσῃ πάντα". Φανερὸν δέ, ὅτι ἡ ψυχὴ τελείας δυνάμεως ἔσται τότε, ὅταν τῷ Θεῷ διὰ θεωρίας συνάπτηται, καὶ διὰ τοῦτο τῇ τῆς ψυχῆς τοιαύτῃ δυνάμει καὶ ἄψαυστον φθορᾶς ἁπάσης συντηρηθήσεται, καὶ ὑπὲρ πάντα τὰ σώματα κουφισθήσεται. Καὶ νῦν γάρ, τῇ ἐλάττονι τῆς ψυχῆς δυνάμει συνεχόμενον, οὔτε ἐκ τῆς τῶν στοιχείων ἐναντιότητος διαλύεται, καὶ μετεωρίζεταί πῃ. Ἀλλὰ καὶ θείᾳ δυνάμει τὰ οὐράνια διαιρεθήσεται σώματα, ὥσθ' ὑπὲρ αὐτὰ τὰ δεδοξασμένα σώματα μετεωρισθῆναι, καὶ ὁμοῦ τοῖς ἄλλοις σώμασιν εἶναι· οὗ τεκμήριον ἐν τῷ τοῦ Χριστοῦ προηγήσατο σώματι, ὅτε πρὸς τοὺς μαθητὰς εἰσῆλθε, τῶν θυρῶν κεκλεισμένων.

## LXXXVIII. — Περὶ τῶν μελῶν καὶ τῆς ἡλικίας τῶν τότε σωμάτων.

Εἰ δὲ διὰ τῆς ἀναστάσεως αἱ τῆς φύσεως ἀναπληρωθήσονται στερήσεις, οὐδὲν ἄρα τῶν πρὸς τὴν τῆς φύσεως τελειότητα ἀνηκόντων τῶν ἀνισταμένων σωμάτων | ἀφαιρεθήσεται. Συντελεῖ δὲ τῇ ἀκεραιότητι καὶ τὰ γεννητικὰ f. 189v
μέλη ἑκατέρου τοῦ γένους· τὸ δὲ τὴν χρῆσιν αὐτῶν μὴ ἔσεσθαι τότε οὐκ ἐναντιοῦται τῷ λόγῳ· οὕτω γὰρ οὐδὲ τὰ τῇ τροφῇ ὑπηρετούμενα παρῆν ἂν ἐκείνοις διὰ τὸ μὴ χρείαν εἶναι τροφῆς. Ὁμοίως οὐδὲ ἡ ἀσθένεια τοῦ γυναικείου γένους τῇ τελειότητι ἐναντιοῦται· οὐ γάρ ἐστι τοῦτο ἀσθένεια ὡς παρὰ φύσιν, ἀλλ' ὡς τῆς φύσεως σκοπός. Καὶ αὐτὴ γὰρ τῆς φύσεως ἡ διάκρισις τὴν τῆς φύσεως δείκνυσι τελειότητα καὶ τὴν θείαν σοφίαν, εὐτάκτως πάντα διατιθεῖσαν· καὶ τὸ ἀποστολικόν, τὸ „μέχρις ἂν καταντήσωμεν πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ", πρὸς τὸ δεῖξαι τὴν τῆς Ἐκκλησίας τελειότητά τε καὶ δύναμιν εἴρηται. Ὅλη γὰρ ἡ ἐκκλησία ἔσται ὥσπερ ἀνὴρ τέλειος Χριστῷ ὑπαντῶσα. Ἐν δὲ τῇ τοῦ Χριστοῦ ἡλικίᾳ, ἥτις ἐστὶ νεανική, δεῖ πάντας ἀναστῆναι διὰ τὴν ἐν ταύτῃ μόνῃ τῇ ἡλικίᾳ τῆς φύσεως τελειότητα· ἡ μὲν γὰρ παιδικὴ οὔπω τῆς φύσεως τελειότητα ἔτυχε διὰ τῆς αὐξήσεως. Ἡ δὲ πρεσβυτικὴ διὰ τῆς παρακμῆς τοῦ τελείου ἀπέστη.

## LXXXIX. — Περὶ τῆς ποιότητος τῶν σωμάτων τῶν ἁμαρτωλῶν.

Ἀλλὰ καὶ τῶν καταδίκων τὰ σώματα ταῖς ψυχαῖς αὐτῶν ἀνάλογον ἔσται, αἳ φύσιν μὲν ἔχουσιν ἀγαθὴν ὡς ἀπὸ Θεοῦ κτισθεῖσαν, βούλησιν δὲ ἄτακτον καὶ τοῦ τέλους ἀποχωροῦσαν. Οὕτως οὖν καὶ τὰ σώματα

3 Eph. 4, 10 25 Eph. 4, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φύσει μὲν τέλεια ἐπισκευασθήσονται τοῖς τῶν δικαίων ὁμοίως· οὐκ ἔσονται δὲ πνευματικά, ἀλλ' αἱ ψυχαὶ μᾶλλον διὰ τῆς ἐπιθυμίας ἔσονται σαρκικαί. Οὔτε κοῦφα ἔσονται, ἀλλὰ τοὐναντίον διὰ βάρος ὥσπερ ἀφόρητα τῇ ψυχῇ καὶ παθητὰ ἔσονται ὡς καὶ νῦν, ἢ καὶ μᾶλλον, ὡς πάσχειν μὲν ὑπὸ τῶν αἰσθητῶν λύπην, οὐ μέντοι φθοράν, ὥσπερ καὶ αἱ ψυχαὶ αὐτῶν βασανισθήσονται, τῆς φυσικῆς περὶ τὴν μακαριότητα ἐφέσεως μάτην λοιπὸν αὐταῖς ἐσομένης. Ἔσονταί τε ἀντιφράττοντα καὶ σκοτεινά, ταῖς ψυχαῖς ὁμοίως. Καὶ τοῦτ' ἔστι τὸ ἀποστολικόν, ὅτι· „Πάντες μὲν ἀναστησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα". Μόνοι γὰρ ἀλλαγήσονται πρὸς δόξαν οἱ ἀγαθοί· ὀδυνήσονται δὲ τὰ σώματα ὑπὸ τοῦ πυρός, τῆς αὐτοῦ ποιότητος διὰ τὴν ὑπερβολὴν ἐναντιουμένης μὲν τῇ κράσει καὶ τῇ ἁρμονίᾳ, οὐ δυναμένης δὲ λύειν, ἢ χωρίζειν τοῦ σώματος τὴν ψυχήν. Ἀνάγκη γὰρ τὸ σῶμα ἐν τῷ αὐτῷ εἴδει μένειν· τόπος δὲ αὐτοῖς ἔσται ὁ κατώτατος καὶ σκοτεινός, ὡς
f. 190 ἐν Ψαλμοῖς λέγεται· „Ἐλθέτω δὴ | θάνατος ἐπ' αὐτοὺς καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες".

## XC. — Πῶς αἱ ἀσώματοι οὐσίαι πείσονται ὑπὸ τοῦ σωματικοῦ πυρός.

Οὐχ ὥστε τὴν φύσιν αὐτῶν ὑπὸ τοῦ πυρὸς φθείρεσθαι, ἢ ἀλλοιοῦσθαι, ἢ ἄλλως πῶς μεταβάλλειν· οὐ γὰρ ἔχουσιν ὕλην σωματικήν, ὥσθ' ὑπὸ τῶν σωματικῶν δύνασθαι πάσχειν οὕτως, οὔτ' αἰσθήσεως ἔχουσιν ὄργανα, οὔτ' αἰσθητικαῖς δυνάμεσι χρῶνται· ἀλλὰ πείσονται ὑπὸ τοῦ σωματικοῦ πυρὸς αἱ ἀσώματοι οὐσίαι κατά τινα τρόπον δεσμοῦ. Εἰ γὰρ ὡς εἴδη συνδεῖσθαι τοῖς σώμασι δύνανται, ὃν αἱ ψυχαὶ τρόπον, ἢ καὶ χωρὶς τούτου, καθάπερ οἱ νεκρομάντεις δυνάμει δαιμόνων δεσμοῦσι τὰ πνεύματα σχήμασιν, ἢ τοιούτοις τισίν, πολλῷ μᾶλλον τῇ θείᾳ δυνάμει τὰ τιμωρηθησόμενα πνεύματα τῷ σωματικῷ πυρὶ προσδεθήσονται. Καὶ τοῦτ' ἔστιν αὐτοῖς εἰς κόλασιν, ὅτι γινώσκουσιν ἑαυτὰ ἐπὶ τιμωρίᾳ τοῖς κάτω προσδεδεμένα. Ἔστι δὲ οἰκεία κόλασις τῇ ἁμαρτούσῃ λογικῇ φύσει, τὸ τοῖς ἑαυτῆς ταπεινοτέροις, δηλαδὴ τοῖς σωματικοῖς, τρόπον τινὰ δεδεμένην ὑποκεῖσθαι παρὰ τὴν βούλησιν· ἔστι γὰρ ἐναντίον τῇ φυσικῇ βουλήσει τῆς ἀσωμάτου οὐσίας τὸ ὑποτετάχθαι σώματι. Εἰ δὲ καὶ τὰ ἐν ταῖς γραφαῖς σωματικῶς περὶ τῶν ἐν τῇ ἀπολαύσει λεγόμενα νοοῦνται πνευματικῶς, ἀλλ' ἃ τοῖς ἁμαρτάνουσι σωματικῶς ἡ Γραφὴ ἀπειλεῖ, καὶ σωματικῶς νοεῖσθαι ὡς κυρίως εἰρημένα ὀφείλουσιν. Ὡς γὰρ ἀντὶ ἀμοιβῆς τῇ ταπεινοτέρᾳ φύσει προσήκει τὸ τῇ ὑψηλοτέρᾳ συνάπτεσθαι, οὕτως ἡ ὑψηλοτέρα πρεπόντως κολάζεται τοῖς ταπεινοῖς συγκαταλεγομένη. Ἔνια δὲ καὶ περὶ τῶν κολαζομένων καθ' ὁμοιότητα νοεῖσθαι χρή. Ὁ γὰρ σκώληξ

---

8 I Cor. 15, 51 14 Ps. 54, 16

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰ τῆς συνειδήσεως δηλοῖ δήγματα, οἷς οἱ ἀσεβεῖς κολασθήσονται· οὐ γάρ ἐστι δυνατὸν σωματικὸν σκώληκα ἀσώματον διαγλύφειν οὐσίαν, ἀλλ' οὐδὲ τὰ σώματα τῶν ἁμαρτωλῶν, ἄφθαρτα ὄντα. Ὁ δὲ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων μεταφορικῶς μόνον ἐν ταῖς ἀσωμάτοις οὐσίαις νοοῦνται, εἰ καὶ ἐν τοῖς σώμασι τῶν ἁμαρτωλῶν μετὰ τὴν ἀνάστασιν καὶ σωματικῶς νοοῦνται, οὐ διὰ τοῦ κλαυθμοῦ ἐξαγωγῆς νοουμένης δακρύων· οὐδεμία γὰρ ἐκ τῶν σωμάτων ἐκείνων ἀπόρροια· ἀλλὰ μόνον ὀδύνης καρδίας, καὶ ταραχῆς ὀφθαλμῶν καὶ κεφαλῆς, ὡς καὶ νῦν ἐν τοῖς κλαυθμοῖς εἴωθε γίνεσθαι.

## XCI. — Ὅτι αἱ ψυχαὶ χωρισθεῖσαι τοῦ σώματος αὐτίκα ἢ ἀμοιβῆς ἢ δίκης τυγχάνουσιν. f. 190v

Οὐδεμία γὰρ ἂν ἦν αἰτία τῆς βραδυτῆτος τῶν κολάσεων καὶ τῶν ἄθλων. Εἰ δὲ καὶ στρατείᾳ παρεικάζεται ἡ παροῦσα ζωή, καὶ ἡμέραις μισθωτοῦ, ὡς ἐν τῷ Ἰώβ· „Στρατεία ἐστὶν ἡ ζωὴ τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς, καὶ ὥσπερ μισθωτοῦ αἱ ἡμέραι αὐτοῦ", ἀνάγκη τὴν στρατείαν καὶ τὸν πόνον ἆθλον ἢ κόλασιν διαδέχεσθαι ἐν τοῖς μισθωτοῖς καλῶς ἢ κακῶς ἀγωνισαμένοις.

Προσήκει δὲ καὶ προτέρας κολάζεσθαι ἢ στεφανοῦσθαι τὰς ψυχάς, ἐν αἷς πρότερον ἡ ἀρετὴ γέγονεν ἢ ἡ ἁμαρτία, καὶ οὐ δεῖ περιμένειν τὴν τῶν σωμάτων ἀνάληψιν, ἄλλως τε καὶ τῆς ψυχῆς μετὰ τὸν ἀπὸ τοῦ σώματος χωρισμὸν αὐτίκα δεκτικῆς οὔσης δόξης ἢ τιμωρίας. Ἐνίαις δὲ τῶν μακαρίων ψυχῶν γίνεται κώλυμα διὰ τὸ μὴ παντελῶς ἀποκαθαρθῆναι· δεῖ μὲν γὰρ καθαρθῆναι τελείως, διὰ τὸ ὡς ἐν τῇ Σοφίᾳ λέγεται· „Μηδὲν ἀκάθαρτον αὐτῇ συναντᾶν"· καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Οὐ διελεύσεται δι' αὐτῆς ἀκάθαρτος". Συμβαίνει δέ ποτε μὴ εἰς τέλος ἐλθεῖν ἐνίαις τὴν ἐνταῦθα κάθαρσιν τοῦ ῥύπου τῆς ἁμαρτίας καὶ τοῦ μολυσμοῦ, ἀλλ' ἔτι ὀφείλειν δίκην, ἢ διὰ ῥαθυμίαν ἢ περισπασμόν, ἢ διὰ τὸ φθάσαι τὸν θάνατον τοῦτο παθούσαις. Ἄξιαι δέ εἰσι μὴ εἴργεσθαι παντελῶς τῶν ἀμοιβῶν διὰ τὸ μὴ ἐνέχεσθαι πρὸς θάνατον ἁμαρτίαις, δι' ὧν ἡ ἀγάπη ἀναιρεῖται, ἆθλον ἔχουσα τὴν αἰώνιον ζωήν· καὶ διὰ τοῦτο εἴργονται πρὸς καιρὸν τῆς ἀποκειμένης ἀμοιβῆς, καὶ ταύτην δίκην ὀφείλουσιν, καὶ οὕτω καθαίρονται.

Περὶ δὲ τῶν κωλυμάτων τούτων καὶ τῶν καθάρσεων τῆς ποιότητος, οὐ δεῖ διϊσχυρίζεσθαι, ἄλλων ἄλλα λεγόντων εἶναι. Εἶναι μέν τινα κωλύματα ταῖς τοιαύταις ἐπὶ καθάρσει μέχρι τινός, πᾶσα ἀνάγκη· ἢ μάτην ἂν ἦν τὸ ἔθος τῆς Ἐκκλησίας ὑπὲρ τῶν τεθνεώτων εὐχομένης· οὐ γὰρ περὶ τῶν ἐν τῇ μακαριότητι ἤδη ὄντων εὔχεσθαι ἐδέησεν ἄν, ἀλλ' ὑπὲρ τῶν οὔπω πρὸς τὸν ὅρον ἀφικομένων.

---

14 Iob, 7, 1 23 Sap. 7, 25 24 Is. 35, 8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὅτι δὲ αἱ ψυχαὶ μετὰ θάνατον αὐτίκα τυγχάνουσι τῶν ποινῶν ἢ τῶν στεφάνων, εἰ μή τι εἴη κώλυμα, ἡ Γραφὴ βεβαιοῖ· ἐν μὲν γὰρ τῷ κατὰ Λουκᾶν λέγεται· „Ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη", καὶ ἐν τῷ ᾅδῃ, καὶ τὰ ἑξῆς· καὶ ὁ Κύριος εἶπε τῷ μεταγνόντι λῃστῇ· „Σήμερον f. 191 μετ' ἐμοῦ | ἔσῃ ἐν τῷ παραδείσῳ"· καὶ ὁ Ἀπόστολος· „Οἴδαμεν, φησίν, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκίαν ἔχομεν ἐκ Θεοῦ ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς". Ἐκδηλότερον δὲ τοῦτο διὰ τοῦ προσκειμένου ποιεῖ λέγων· „Εἰδότες, ὅτι ἐφόσον ἐσμὲν ἐν τῷ σώματι, ἀποδημοῦμεν ἀπὸ τοῦ Θεοῦ· διὰ πίστεως γὰρ περιπατοῦμεν καὶ οὐ διὰ εἴδους. Τολμῶμεν καὶ εὐδοκοῦμεν ἀποδημεῖν μᾶλλον τοῦ σώματος καὶ ἐνδημεῖν τῷ Θεῷ". Ἀλλὰ καὶ ἐν τῇ πρὸς Φιλιππησίους, α'· „Ἐπιθυμίαν ἔχω, φησίν, ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι"· ὁ δὲ Χριστὸς ἐν τοῖς οὐρανοῖς ἐστιν. Ἤλπιζεν ἄρα, μετὰ τὴν ἀπὸ τοῦ σώματος λύσιν καὶ τὴν ἐκ τοῦ σώματος ἐκδημίαν, ἐνδημῆσαι καὶ συνεῖναι ἂν τῷ Χριστῷ καὶ Θεῷ

## XCII. — Ὅτι αἱ ψυχαὶ τῶν ἁγίων, μετὰ θάνατον, ἀκίνητον ἕξουσι θέλησιν ἀπὸ τοῦ ἀγαθοῦ.

Ἡ γὰρ χωρισθεῖσα τοῦ σώματος ψυχὴ οὐκ ἐν τάξει στρατείας ἔτι ἢ μάχης ἐστίν, ἀλλ' ἐν τῷ λαμβάνειν ἆθλον ἢ δίκην, ὧν εὐθὺς τυγχάνει, ὡς εἴρηται. Οὐκ ἔτι ἄρα κατὰ τὴν θέλησιν ἢ ἐκ τοῦ ἀγαθοῦ εἰς τὸ κακόν, ἢ τὸ ἀνάπαλιν μεταβληθῆναι δύναται.

Ἔτι, τὴν θέλησιν οὐδαμῶς ἁμαρτάνειν συμβαίνει ἄνευ τινὸς ἀγνοίας τοῦ νοῦ· οὐδὲν γὰρ ἕτερον θέλομεν εἰ μὴ τὸ ἀληθὲς ἀγαθὸν ἢ τὸ δοκοῦν· ἡ δ' ἀληθῶς μακαρία ψυχὴ οὐδένα τρόπον δύναται ἀγνοεῖν, ἐν τῷ Θεῷ πάντα ὁρῶσα τὰ πρὸς τὴν αὐτῆς συντείνοντα τελειότητα. Οὐκ ἄρα δύναται πονηρὰν κτήσασθαι βούλησιν.

Ἔτι, τὸ ἔσχατον τέλος ἔοικε ταῖς πρώταις τῶν ἀποδείξεων ἀρχαῖς. Ὡς οὖν αἱ πρῶται τῶν ἀποδείξεων ἀρχαὶ καθ' ἑαυτάς εἰσι φανεραί, καὶ διὰ τοῦτο οὐδεμία περὶ αὐτὰς πλάνη, οὕτως καὶ τοῦ ἐσχάτου τέλους τυχοῦσαν τὴν θέλησιν ἀδύνατον λοιπὸν διαστρέφεσθαι· καὶ εἰ ἠδύνατο ἔτι ἡ μακαρία ψυχὴ μεταβληθῆναι ἀπὸ τοῦ ἀγαθοῦ εἰς τὸ πονηρόν, οὐκ ἂν ἦν ἐν τῷ ἐσχάτῳ τέλει, ὅπερ ἐστὶν ἐναντίον τῷ τῆς μακαριότητος ὁρισμῷ.

## XCIII. — Ὅτι καὶ αἱ τῶν πονηρῶν ἀκίνητον θέλησιν ἕξουσιν ἀπὸ τοῦ κακοῦ.

Δέδεικται γάρ, ὅτι τῇ πρὸς θάνατον ἁμαρτίᾳ αἰωνία ὀφείλεται κόλασις· τοῦτο δ' οὐκ ἂν ἦν, εἰ κατὰ τὴν θέλησιν μεταβληθῆναι ἠδύναντο· καὶ μὴ οἰκεῖον τῇ θείᾳ δικαιοσύνῃ.

---

3 Luc. 16, 22 4 Luc. 23, 43 5 II Cor. 5, 1 8 II Cor. 5, 6-9 31 Phil. 1, 23

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, τὸ μεταβληθῆναι τὴν θέλησιν ἐκ τῆς ἁμαρτίας | διὰ τῆς χάριτος f. 191ᵛ μόνης συμβαίνει. Ἀλλ' αἱ τοιαῦται ψυχαί, παντάπασιν εἰρχθεῖσαι τῆς χάριτος, εἰς τὴν ἀθλιότητα πέμπονται.

Ἔτι, ὥσπερ αἱ τῶν ἀγαθῶν ἀκινήτως ἕξονται τοῦ τέλους, ὅπερ ἐν ταύτῃ τῇ ζωῇ ἑαυταῖς προεστήσαντο, οὕτω καὶ αὗται ἀκινήτως ἕξονται τοῦ τέλους ὅπερ ἑαυταῖς εἵλοντο, καὶ ἡ ἄτακτος θέλησις αὐτῶν οὐκ ἀφαιρεθήσεται.

### XCIV. — Ὅτι ὁμοίως ἕξουσι καὶ αἱ μὴ ἀφικνούμεναι εὐθὺς πρὸς τὴν μακαριότητα.

Καὶ αὗται γὰρ αἱ συνεφελκόμεναί τι ἑαυταῖς δυνάμενον καθαρθῆναι οὐ διΐστανται κατὰ τὸ τέλος τῶν μακαρίων· τελευτῶσι γὰρ μετ' ἀγάπης, δι' ἧς ὡς τέλους ἐχόμεθα τοῦ Θεοῦ· ὥστε καὶ αὗται ἀκίνητον ἕξουσι θέλησιν.

### XCV. — <Ὅτι οὐκ ἐναντιοῦται τῷ αὐτεξουσίῳ ἡ τοιαύτη τῆς θελήσεως ἀκινησία.>

Οὐδαμῶς δὲ ἡ τοιαύτη τῆς θελήσεως ἀκινησία τῷ αὐτεξουσίῳ ἐναντιοῦται, οὗτινος ἐνέργειά ἐστι τὸ αἱρεῖσθαι· ἡ γὰρ αἵρεσις τῶν πρὸς τὸ τέλος ἐστίν, ἀλλ' οὐ τοῦ ἐσχάτου τέλους. Ὥσπερ τοίνυν οὐ μάχεται νῦν τῷ αὐτεξουσίῳ τὸ ἀκινήτῳ θελήσει ἐπιθυμεῖν ἡμᾶς τῆς μακαριότητος καὶ φεύγειν τὴν κακοδαιμονίαν καθόλου, οὕτως οὐκ ἔσται ἐναντίον τῷ αὐτεξουσίῳ τὸ τὴν θέλησιν ἀκινήτως εἰς ὡρισμένον τι φέρεσθαι ὥσπερ εἰς ἔσχατον τέλος. Ὥσπερ γὰρ ἀκινήτως ἡμῖν ἡ κοινὴ πρόσεστι φύσις, δι' ἧς τῆς μακαριότητος ἐφιέμεθα καθόλου, οὕτω καὶ ἀκινήτως ἡμῖν ἡ πνευματικὴ διάθεσις ἐκείνη παραμενεῖ, δι' ἧς τούτου ἢ ἐκείνου ὡς ἐσχάτου τέλους ἐπιθυμήσομεν.

### XCVI. — Περὶ τῆς τελευταίας κρίσεως.

Ἐκ τῶν προειρημένων τοίνυν φανερὸν διπλῆν εἶναι τὴν ἀνταπόδοσιν ὑπὲρ τῶν ἐνταῦθα πεπραγμένων ἀνθρώποις, μίαν μὲν κατὰ ψυχήν, ἣν ἀπολαμβάνει τις αὐτίκα τῆς ψυχῆς ἀπὸ τοῦ σώματος χωρισθείσης· ἑτέραν δέ, ἐν τῇ τῶν σωμάτων ἀναστάσει, καθ' ἣν τινὲς μὲν ἀπαθῆ καὶ δεδοξασμένα, τινὲς δὲ παθητὰ καὶ ἄτιμα λήψονται σώματα. Καὶ ἡ μὲν πρώτη ἀνταπόδοσις ἰδίᾳ ἑκάστοις γίνεται, καθόσον διῃρημένως ἑκάστοις ὁ θάνατος ἔπεισιν· ἡ δὲ δευτέρα ὁμοῦ πᾶσι γενήσεται ὁμοῦ ἀναστησομένοις. Πᾶσα δὲ ἀνταπόδοσις, καθ' ἣν διάφορα κατὰ τὴν διαφορὰν τῶν ἔργων ἀποδίδονται, κατὰ κρίσιν τινὰ γίνεται. Ἀνάγκη τοίνυν διπλῆν εἶναι καὶ τὴν κρίσιν, μίαν μὲν ᾗ διῃρημένως ἑκάστοις ἆθλον ἢ κόλασις κατὰ τὴν ψυχὴν ἀποδίδοται, ἑτέραν δὲ κοινήν, καθ' ἣν πᾶσι τὸ ὀφειλόμενον καὶ κατὰ τὴν

Ε.Υ.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f. 192 ψυχὴν καὶ κατὰ τὸ σῶμα ἀποδίδοται. | Καὶ ἐπεὶ ὁ Χριστὸς τῇ ἑαυτοῦ ἀνθρωπότητι, καθ' ἣν πέπονθε καὶ ἀνέστη, ἀνάστασιν καὶ ζωὴν αἰώνιον ἡμῖν ἐπαγγέλλεται, οἰκεία ἐστὶ τούτῳ ἡ κρίσις ἐκείνη ἡ κοινή, ἐν ᾗ οἱ ἀναστάντες ἢ κολασθήσονται ἢ στεφανωθήσονται. Διὰ τοῦτο ἐν τῷ κατὰ Ἰωάννην εἴρηται· „Ἐξουσίαν δέδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν“.

Ἀνάγκη δὲ τὴν κρίσιν ἀνάλογον εἶναι τοῖς κρινομένοις· καὶ ἐπεὶ ἡ τελευταία κρίσις περὶ ἀμοιβῶν καὶ κολάσεων ἔσται τῶν ὁρατῶν σωμάτων, εἰκὸς καὶ τὴν κρίσιν ἐκείνην ὁρατῶς τελεσθῆναι. Ὅθεν καὶ ὁ Χριστὸς ἐν εἴδει ἀνθρωπότητος κρινεῖ, ᾧ πάντες δυνήσονται βλέπειν, ἀγαθοί τε καὶ πονηροί· ἡ δὲ τῆς θεότητος αὐτοῦ θεωρία μακαρίους ποιεῖ, ὡς ἐν τῷ τρίτῳ δέδεικται· ὅθεν καὶ ὑπὸ μόνων τῶν ἀγαθῶν ὀφθῆναι δυνατή. Ἡ δὲ τῶν ψυχῶν κρίσις, ἀοράτων οὖσα, καὶ ἀοράτως ἐπιτελεῖται.

Ἀλλ' εἰ καὶ ὁ Χριστὸς ἐν ἐκείνῃ τῇ τελευταίᾳ κρίσει ἐξουσίαν ἔχει τοῦ κρίνειν, κρινοῦσι μέντοι γε μετ' αὐτοῦ ὥσπερ κριτοῦ πάρεδροι οἱ πλέον τῶν ἄλλων αὐτῷ συνημμένοι, τουτέστιν οἱ ἀπόστολοι, οἷς εἴρηται ἐν τῷ κατὰ Ματθαῖον, ὅτι· „Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι καθίσεσθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ“, ἥτις ἐπαγγελία καὶ πρὸς ἐκείνους ἐστίν, οἳ τοῖς τῶν ἀποστόλων ἴχνεσιν ἠκολούθησαν.

## XCVII. — Περὶ τῆς μετὰ τὴν κρίσιν καταστάσεως τοῦ κόσμου.

Μετὰ τὴν τελευταίαν οὖν κρίσιν, ἡ ἀνθρωπίνη φύσις ἐν τῷ ἑαυτῆς στήσεται παντάπασιν ὅρῳ. Ἐπεὶ δὲ πάντα τὰ σώματα διὰ τὸν ἄνθρωπόν πως εἰσίν, ὡς ἐδείχθη, καὶ ἡ τῆς ὅλης σωματικῆς κτίσεως κατάστασις τότε μεταβληθήσεται, ὥστε συμβαίνειν τῇ τῶν τότε ἀνθρώπων ἕξει, ὧν ἀφθάρτων ἐσομένων, καὶ τῆς κτίσεως ἀναιρεθήσεται γένεσις καὶ φθορά, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ“. Τῆς δὲ τῶν ὑποκάτω γενέσεως καὶ φθορᾶς ἡ τοῦ οὐρανοῦ κίνησίς ἐστιν αἰτία. Πρὸς τὸ τοίνυν τὴν γένεσιν καὶ τὴν φθορὰν ἐν τοῖς ὑποκάτω παύσασθαι, ἀνάγκη καὶ τὴν τοῦ οὐρανοῦ κίνησιν στῆναι, καὶ διὰ τοῦτο λέγεται ἐν τῇ Ἀποκαλύψει, ὅτι „χρόνος οὐκέτι ἔσται“. Οὐ δεῖ δὲ τοῦτο δοκεῖν ἀδύνατον· οὐ γὰρ οὕτως ἐστὶ φυσικὴ ἡ τοῦ οὐρανοῦ κίνησις ὥσπερ ἡ τῶν βαρέων
f. 192ᵛ καὶ κούφων, | ὥσθ' ὑπό τινος ἔνδοθεν ποιητικῆς αἰτίας πρὸς τὴν κίνησιν ῥέπειν, ἀλλὰ καθόσον ἐν τῇ αὐτοῦ φύσει πρὸς τὴν τοιαύτην κίνησιν ἐπιτηδειότητα ἔχει· τῆς δὲ τοιαύτης κινήσεως, νοῦς ἐστιν αἴτιος, καὶ κινεῖται ὁ οὐρανὸς ὡς τὰ ὑπὸ θελήσεως κινούμενα. Ἡ δὲ θέλησις ἕνεκα τέλους

5 Ioh. 5, 27 17 Matth. 19, 28 28 Rom. 8, 21 33 Ap. 10, 6

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κινεῖ, οὔτε δὲ τέλος τῆς οὐρανίου κινήσεως αὐτὸ τὸ κινεῖσθαι· ἡ γὰρ κίνησις, ἕνεκά του ἀεὶ οὖσα, οὐδέποτε λόγον ἐσχάτου τέλους ἔχει· οὔτε τὸ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἔρχεσθαι, ἐπεὶ ἡ ἐν τῷ οὐρανῷ κατὰ τὴν κίνησιν δυνάμις οὐδέποτε δύναται εἰς ἐνέργειαν προελθεῖν. Ὅταν γὰρ ἐνεργείᾳ ᾖ ἐν ἑνί που τὸ οὐράνιον σῶμα, ἔστιν ἐν δυνάμει πρὸς ἕτερόν που, ὥσπερ ἐστὶν ἐπὶ τῆς δυνάμεως τῆς πρώτης ὕλης πρὸς τὰ εἴδη. Ἀλλὰ τέλος τῆς οὐρανίου κινήσεως, ἕτερόν τι τῇ ἐπανακυκλήσει ἑπόμενον, τουτέστιν ὁμοιοῦσθαι τῷ Θεῷ κατὰ τὸ αἴτιον εἶναι· πάντα δὲ τὰ ἐν γενέσει καὶ φθορᾷ, ὧν αἰτία ἡ τοῦ οὐρανοῦ κίνησις, πρὸς τὸν ἄνθρωπόν εἰσι τεταγμένα ὥσπερ εἰς τέλος. Ἡ τοῦ οὐρανοῦ ἄρα κίνησις μάλιστα, διὰ τὴν τῶν ἀνθρώπων ἐστὶ γένεσιν· ἐν τούτῳ γὰρ καὶ μάλιστα τῆς θείας τυγχάνει ὁμοιότητος, ἐν τῷ αἰτίαν εἶναι, ἐπεὶ τὸ τοῦ ἀνθρώπου εἶδος, ἡ λογικὴ ψυχή, ἀμέσως τὸν Θεὸν αἴτιον ἔχει. Ἀλλ' οὐδὲ τὸν ἐπ' ἄπειρον πολλαπλασιασμὸν τῶν ψυχῶν δυνατὸν εἶναι τέλος· τὸ γὰρ ἄπειρον ἐναντίον ἐστὶ τῷ λόγῳ τοῦ τέλους. Οὐδὲν τοίνυν ἄτοπον ἕπεται, εἰ ὡρισμένως τινὸς ἀνθρώπων ἀριθμοῦ πληρωθέντος, ὑποθείημεν τὴν τοῦ οὐρανοῦ κίνησιν ἐκλείπειν.

Παυσαμένης μέντοι τῆς τοῦ οὐρανοῦ κινήσεως, καὶ τῆς γενέσεως καὶ φθορᾶς ἀπὸ τῶν στοιχείων, ἡ οὐσία καταλειφθήσεται τούτων διὰ τὸ τῆς θείας ἀγαθότητος ἀκίνητον· Ἐδημιούργησε γὰρ τὰ πράγματα, ἵνα ὦσιν. Ὅθεν τὸ εἶναι ἐκείνων, ἃ πρὸς τὴν ἀϊδιότητα ἐπιτηδείως ἔχει, αἰωνίως διαμενεῖ. Ἔχουσι δὲ φύσιν ἐπιτηδείαν πρὸς τὸ διαμένειν τὰ μὲν οὐράνια σώματα καὶ καθόλου καὶ κατὰ μέρη, τὰ δὲ στοιχεῖα, καθόλου, εἰ καὶ μὴ κατὰ μέρη· φθαρτὰ γὰρ ταῦτα. Οἱ δὲ ἄνθρωποι, κατὰ τὰ μέρη, εἰ καὶ μὴ καθόλου· ἡ μὲν γὰρ λογικὴ ψυχὴ ἄφθαρτος· τὸ δὲ σύνθετον φθαρτόν. Ταῦτα τοίνυν κατ' οὐσίαν μενοῦσιν ἐν τῇ ἐσχάτῃ καταστάσει τοῦ κόσμου, ἃ κατά τινα τρόπον ἐπιτηδειότητα πρὸς τὸ ἀΐδιον ἔχει, ἀναπληροῦντος τοῦ Θεοῦ τῇ ἑαυτοῦ δυνάμει ὧν ταῦτα κατὰ τὴν ἰδίαν δύναμιν ἀπολείπεται. Τὰ δὲ ζῷα καὶ φυτὰ καὶ τὰ μικτὰ σώματα, ἃ παντάπασίν
εἰσι | φθαρτὰ καὶ καθόλου καὶ κατὰ μέρη, κατ' οὐδένα τρόπον ἐν τῇ τῆς f. 193
ἀφθαρσίας τότε καταστάσει διαμενοῦσιν.

Καὶ οὕτω νοεῖται τὸ ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου“· ὅτι τὸ νῦν ὂν σχῆμα τοῦ κόσμου παύσεται, ἡ δ' οὐσία μενεῖ. Οὕτω νοεῖται, καὶ τὸ ἐν τῷ Ἰώβ· „Ἄνθρωπος, ὅταν κοιμηθῇ, οὐκ ἀναστήσεται, ἕως ἂν ἀλλοιωθῇ ὁ οὐρανός“, τουτέστιν, ἕως ἂν ἡ διάθεσις αὕτη τοῦ οὐρανοῦ παύσηται, δι' ἧς κινεῖται κἂν τοῖς ἄλλοις αἴτιος κινήσεως γίνεται. Ἐπεὶ δὲ τῶν ἄλλων στοιχείων τὸ πῦρ ἐστι μάλιστα δραστήριον καὶ τῶν φθαρτῶν ἀναλωτικόν, ἡ φθορὰ τῶν ἐν τῷ

32 I Cor. 7, 31    34 Iob, 14, 12



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μέλλοντι διαμεῖναι μὴ ὀφειλόντων εἰκότως γενήσεται διὰ τοῦ πυρός. Καὶ διὰ τοῦτο κατὰ τὴν πίστιν ὑπόκειται τὸ τὸν κόσμον τελευταῖον διὰ πυρὸς καθαρθήσεσθαι, οὐ μόνον τῶν φθαρτῶν σωμάτων, ἀλλὰ καὶ τοῦ αἴσχους τοῦ τῷ κόσμῳ τούτῳ ἐπισυμβάντος ἐκ τῆς ἐπ' αὐτῷ κατοικήσεως τῶν ἁμαρτωλῶν. Καὶ τοῦτ' ἔστιν τὸ ἐν τῇ δευτέρᾳ Πέτρου λεγόμενον· „Οἱ γὰρ νῦν ὄντες οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτῷ λόγῳ ἀπετέθησαν, πυρὶ φυλαττόμενοι εἰς τὴν ἡμέραν τῆς κρίσεως“, διὰ τῶν οὐρανῶν οὐ τοῦ στερεώματος τούτου νοουμένου, ἐν ᾧ εἰσι τὰ ἄστρα, ἢ τὰ ἀπλανῆ, ἢ τὰ πλανώμενα, ἀλλὰ τῶν ἀερίων οὐρανῶν τούτων τῶν πλησιαζόντων τῇ γῇ.

Ἐπεὶ τοίνυν ἡ σωματικὴ κτίσις τελευταῖον τῇ τοῦ ἀνθρώπου καταστάσει συμβήσεται, οἱ δ' ἄνθρωποι οὐ μόνον τῆς φθορᾶς ἐλευθερωθήσονται, ἀλλὰ καὶ δόξαν ἐπενδύσονται, ὡς δῆλον ἐκ τῶν προειρημένων, δεήσει καὶ τὴν σωματικὴν κτίσιν λαμπρότητός τινος καὶ δόξης, ὡς αὐτῇ προσήκει, τυχεῖν. Ἐντεῦθέν ἐστι τὸ λεγόμενον ἐν τῷ εἰκοστῷ πρώτῳ τῆς Ἀποκαλύψεως· „Εἶδον τὸν οὐρανὸν καινὸν καὶ τὴν γῆν καινήν“· καὶ ἐν τῷ Ἡσαΐᾳ· „Ἐγὼ κτίσω οὐρανοὺς καινοὺς καὶ γῆν καινήν, καὶ οὐκ ἔσονται ἐν μνήμῃ τὰ πρότερον, καὶ οὐκ ἀναβήσονται ἐπὶ καρδίαν, ἀλλὰ χαρήσεσθε καὶ ἀγαλλιάσεσθε ἕως τοῦ αἰῶνος“. Ἀμήν.

Δόξα σοι, Κύριε, πάντων ἕνεκεν: —

# Résumé de la Somme théologique de saint Thomas d'Aquin.

## *PREMIERE PARTIE.*

### ΕΚ ΤΟΥ ΘΕΟΛΟΓΙΚΟΥ.*

### *ΕΚ ΤΩΝ ΤΟΥ ΑΥΤΟΥ ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ ΤΙΝΕΣ*

Paris, 1273 f. 194

### I. — Περὶ τῆς θείας διδασκαλίας.**

1. Ὅτι ἀναγκαία ἦν ἡ θεία διδασκαλία πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν ὑπὲρ τὰς φυσικάς· πρῶτον, διότι ὁ ἄνθρωπος ἕνεκά του ἔστιν, ὑπερβαίνοντος τὴν ἀνθρωπίνην γνῶσιν· „ἅπερ ὀφθαλμὸς οὐκ εἶδε“, φησί, καὶ τὰ ἑξῆς· ἀνάγκη δὲ προεγνῶσθαι τὸ τέλος τοῖς πρὸς αὐτὸ ταττομένοις·

* A = Parisinus 1273, f. 194-287ʳ, copie autographe de Scholarios.

** Les chiffres romains des titres indiquent les questions, les chiffres arabes, les articles.

5 II Pet. 3, 7   15 Ap. 21, 1   16 Is. 65, 17, 18   34 I Cor. 2, 9

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Corrections.

| *Page* | *ligne* | *au lieu de* | *lire* |
|---|---|---|---|
| **87** | **24** | *ἀνθρώπω* | *ἀνθρώπῳ* |
| **90** | **24** | *ὑποκει/μένῳ* | *ὑποκειμένῳ* |
| **95** | **3** | *εἴην* | *εἶεν* |
| **337** | **titre courant** | **fines** | **fins** |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Table des matières.

**Introduction** . . . . . . . . . . . . . . . . . . . . . . . . . V-IX

**I. Résumé de la Somme contre les Gentils de saint Thomas d'Aquin** 1-338
1. Préface de Scholarios . . . . . . . . . . . . . . . . . . 1-2
2. Livre I: Dieu en lui-même . . . . . . . . . . . . . . . 2-60
3. Livre II: Dieu créateur . . . . . . . . . . . . . . . . 61-116
4. Livre III: Dieu fin dernière et providence . . . . . . . . . 116-239
5. Livre IV: La doctrine révélée . . . . . . . . . . . . . . 239-338

**II. Résumé de la première partie de la Somme théologique de saint Thomas d'Aquin** . . . . . . . . . . . . . . . . . 338-510
1. Introduction . . . . . . . . . . . . . . . . . . . . 338-340
2. Traité de Dieu . . . . . . . . . . . . . . . . . . . 340-368
3. Traité de la Trinité . . . . . . . . . . . . . . . . . 368-378
4. Traité de la création en général . . . . . . . . . . . . 378-390
(4.bis Extraits de la *Somme contre les Gentils* . . . . . . . . 381-383)
5. Traité des anges . . . . . . . . . . . . . . . . . . 390-416
6. Traité de la création corporelle . . . . . . . . . . . . 416-431
7. Traité de l'homme . . . . . . . . . . . . . . . . . . 431-480
8. Traité du gouvernement divin . . . . . . . . . . . . . . 480-510

**Corrections** . . . . . . . . . . . . . . . . . . . . . . . 510

**Table des matières** . . . . . . . . . . . . . . . . . . . . 511

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Imprimerie G. Uschmann à Weimar.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006